τοῦτον εὐθὺς ἀπρόσμαχον
ἐκτήσω πρόμαχον
καὶ ῥῆμα ὡς ἀξίῳ διδόντα
καὶ πολλῇ δυνάμει εὐαγγελιζομένῳ.
Δανείσας Θεῷ τὴν πρὸς τὸν πέλας
ἀγάπην καὶ εὐσπλαγχνίαν, πολλαπλάσιον,
ὥσπερ ἐπαγγέλλεται,
εὗρες τὴν ἀντίδοσιν
νῦν τε καὶ ἐν τῷ μέλλοντι
πλοῦτον οὐράνιον
καὶ δόξαν καὶ τρυφὴν τὴν ἀγήρω
καὶ τὴν εἰς αἰῶνας ζωὴν καὶ βασιλείαν: +

Θεοτοκίον.

Ἔρριψεν ὁ φθόνος τοῦ ἀρχαίου
δολίου καὶ ἀποστάτου τὸ ἐξαίρετον
ποίημα τοῦ κτίστου μου,
γένος τὸ ἀνθρώπινον,
εἰς τὰς μυρίας, δέσποινα,
πλάνας καὶ πρότερον
καὶ νῦν, ἀφ' ὧν ἐρρύσθημεν ἄρτι
τῇ σῇ συμμαχίᾳ τῷ θεηγόρῳ Μάρκῳ.

Ὠδὴ θ'. Ἅπας γηγενής.

Ἴθι μοι λαὸς
σκιρτάτω γηθόμενος,
νῦν ὁ χριστώνυμος,
ἡ τῶν ὀρθοδόξων τε
ἁγία ἐκκλησία ἡ ἄμωμος
συνευφραινέσθω σήμερον
καὶ χαριστήρια
προσᾳδέτω
Χριστῷ τῷ ἐκσπάσαντι
καινοτόμου παγίδος δι' ἑνὸς σοφοῦ.
Κλέος ἀψευδὲς
καὶ δόξαν οὐράνιον,
μάκαρ, κεκλήρωσαι,
δόξαν τὴν ἐπίκηρον

2. πρόσμαχον A.
6. πολληπλάσιον A.